ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή ΙΒ΄ Λουκά – Αγίου Αντωνίου

17 Ιανουαρίου 2021

Απόστολος – ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΙΓ΄ 17-21

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Απόστολος – Μετάφραση, ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΙΓ΄ 17-21

Αδελφοί, ν΄ ακολουθείτε πιστά και να υπακούτε τους εκκλησιαστικούς σας ηγέτες. Γιατί αυτοί αγρυπνούν για τη σωτηρία σας, επειδή θα δώσουν λόγο στον Θεό. Έτσι η μέριμνά τους θα γίνεται με χαρά, κι όχι με στενοχώρια, πράγμα που δεν σας συμφέρει. Να προσεύχεστε για μας. Φυσικά, είμαστε βέβαιοι πως έχουμε καθαρή τη συνείδησή μας, αφού σε κάθε περίπτωση θέλουμε να συμπεριφερόμαστε όπως πρέπει. Ιδιαίτερα σας παρακαλώ να προσεύχεστε για να με φέρει ο Θεός σύντομα κοντά σας. Ο Θεός που δίνει την ειρήνη και που ανέστησε τον Κύριό μας Ιησού, τον μεγάλο ποιμένα των προβάτων, αυτόν δηλαδή που επικύρωσε με το αίμα του την αιώνια διαθήκη, αυτός να σας δίνει τη δύναμη για κάθε καλό έργο, έτσι ώστε να κάνετε το θέλημά του. Ας ενεργεί δια του Ιησού Χριστού να γίνεται ανάμεσά σας αυτό που τον ευχαριστεί. Σ΄ αυτόν ανήκει η δόξα παντοτινά. Αμήν.

Ευαγγέλιο - ΚΑΤΑ ΛΟΥΚΑΝ ΙΖ’ 12-19

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; Οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; Καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΛΟΥΚΑΝ ΙΖ’ 12-19

Εκείνο τον καιρό, καθώς έμπαινε ο Ιησούς σ’ ένα χωριό, τον συνάντησαν δέκα λεπροί· στάθηκαν λοιπόν από μακριά και του φώναζαν δυνατά: «Ιησού, αφέντη, ελέησέ μας!» Βλέποντάς τους εκείνος τους είπε: «Πηγαίνετε να σας εξετάσουν οι ιερείς». Και καθώς πήγαιναν, καθαρίστηκαν από τη λέπρα. Ένας απ’ αυτούς, όταν είδε ότι θεραπεύτηκε, γύρισε δοξάζοντας με δυνατή φωνή το Θεό, έπεσε με το πρόσωπο στα πόδια του Ιησού και τον ευχαριστούσε. Κι αυτός ήταν Σαμαρείτης. Τότε ο Ιησούς είπε: «Δε θεραπεύτηκαν και οι δέκα; Οι άλλοι εννιά πού είναι; Κανένα τους δε βρέθηκε να γυρίσει να δοξάσει το Θεό παρά μόνο τούτος εδώ ο αλλοεθνής;» Και σ’ αυτόν είπε: «Σήκω και πήγαινε στο καλό· η πίστη σου σε έσωσε».

17 Ιανουαρίου 2021, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης